| Σίγνον | Θεοδούλου Μοναχοῦ |
|---|---|
| καὶ ἡγουμένου | τῆς μονῆς ἁγίου ἀπο- στολίτου |

1157. Φεβρουάριον 0,48 X 0,32

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ
τοῦ ἁγίου πνεύματος. Θεόδουλος μοναχὸς καὶ καθηγούμενος τῆς
σεβασμίας μονῆς τῶν ἁγίων ἀποστόλων, οὕτω τοῦ ἁγίου ἀποστολίτου
κεκλημένης, ὁ ἄνωθεν τοῦ παρόντος ἐγγράφως τὸν τίμιον σταυρὸν
ἰδιοχείρως προτάξας· τὸ παρὸν τῆς ἀνταλλαγῆς ἐνυπόγραφον γράμ-
μα τίθημι καὶ ποιῶ ἑκουσίως καὶ αὐτοθελῶς καὶ οὐ κατά τινα
βίαν, πρὸς τὸν τιμιώτατον πατέρα καὶ πρῶτον τοῦ καθ' ἡμᾶς
ἁγίου ὄρους καὶ ἡγούμενον τῆς μεγάλης λαύρας τοῦ ὁσίου πατρὸς
ἡμῶν Ἀθανασίου, τὸν ἱερομόναχον κὺρ Νικηφόρον καὶ διὰ σοῦ
πρὸς τὴν τοιαύτην ἁγίαν μονὴν] ὡς δηλωθήσεται. ἐν τοῖς νεορηθεῖ-
σι καὶ γὰρ ἐν τῇ μέσῃ τῶν καρεῶν κελλία παρὰ τῆς ὑμῶν ἁγίας μο-
νῆς πλησίον καὶ ἀρχέκολα τυγχάνοντα τοῦ τῆς ἐν ἐμῇ μονῇ δια-
φέροντος κελλίου καὶ μὴ θελήσαντός μου διὰ τὸ ἐστενωμένα
εἶναι ταῦτα ἐντυχεῖν. ἡ χρεία δέ γε τούτου οὔσης τῆς μονῆς
εἰς τὸ ἐξαπλωθῆναι εὐρυχωρότερα τὰ νεουργούμενα, προ-
σῆλθον τῇ ἁγιωσύνῃ σου ἐξαιτούμενος ἐάσαι μὲν αὐτά, ἀντ'
αὐτῶν δὲ τὰ κελλία τῆς αὐτοῦ μονῆς τῆς οὕτω τοῦ [μαυροκορ-
μίτου] λεγομένης λαβεῖν πρὸς ἀνάπαυσιν τῆς καθ' ἡμᾶς μο-
νῆς τῶν ἁγίων ἀποστόλων τυγχάνοντα. ἐπεὶ οὖν κατένευσας
πρὸς τοῦτο, ἰδοὺ ἀποδίδωμί σοι καὶ παραδίδωμι τὰ τοιαῦτα κελ-
λία ὡς εἰσὶν ἐξολοκλήρου μετὰ τῶν αὐτῶν ἐδαφιαίων τόπων προσαι-
λιαστοῦ πρὸς ἄρκτον ἀφορῶντος [καὶ μέχρι] τοῦ ἐκεῖσε ποτα-
μίου τοῦ ἀπὸ τῆς λαύρας τῶν Καρεῶν κατιόντος καὶ τοῦ
πρὸς ἀνατολὰς ἐκτείνοντος τοσούτου καὶ ἐπιμήκους κηποταπίου
ἅμα [καὶ τοῦ ἠνωμένου] αὐτῷ ἀμπελίου, τοῦ ἄχρι τῶν
δικαίων τοῦ φακηνοῦ. ἀπὸ δέ γε τοῦ λίθου ἤγουν τοῦ παλαιοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λαυράτου τοῦ κατέναντι τῶν δικαίων τῆς μονῆς τοῦ Ζυγοῦ, λοξώ-
τερον αὐτόν τόπερί αὐλον τῶν κελλίων, ἀποσμβάζει εἰς τοῦ ἀκρο-
γώνιον τῶν κελλίων τῆς μονῆς τοῦ Ἀλωποῦ. ἐξ οὗ ἀκρογωνίου ἐμε-
τρήθη τό μεταξύ αὐτῶν [διάστημα] τῶν κελλίων καί ἄχρι τῶν
τοῦ Ζυγοῦ δικαίων καί εὑρέθη πηχῶν εἴκοσι καί μία, τό δέ ἔξω-
θεν πρός τήν ὁδόν τήν ἀπό τοῦ ἐμβολίου ἐξιοῦσαν, εὑρέθη ἔχον
περίμετρα πήχεις δεκατέσσαρες ἥμισυ. ταῦτα οὖν τά κελλία
ἀποδοὺς μετά τῶν ἀνηκόντων αὐτοῖς δικαίων παρέλαβον τά
εἰρημένα κελλία τά τοῦ Μαυροκορμίτου ὡς εἰσί περίμε-
τρον ἔχοντα εἰς τετραγώνου, μῆκος μέν πήχεις εἰκοσιτέσσα-
ρες ἥμισυ, πλάτος δέ σύν κεν περιαύλῳ πήχεις δεκαέξ. οὕτως
οὖν παραλαβών καί παραδούς, ὡς εἴρηται, ἐπερωτῶ ἐμαυ-
τόν καί τούς μετ᾽ ἐμέ τά ἡγουμενεῖα διαδεξομένους
ἀδελφά φρονεῖν, εἰσηγούμεθα καί ἐν ἁγίῳ πνεύματι ἐξα-
σφαλίζομεν, ὡς ἐάν ποτε καιρῷ ἢ χρόνῳ πειραθῶ αὐτάς ἤ τις
τῶν μετ᾽ ἐμέ καί πρός ἀνατροπήν τοῦ παρόντος ἐγγράφου
χωρεῖν καί ἢ βίαν ἢ δικαστείαν προβαλῆται, ἢ περί ὑπερπλέον
τιμῆς ὡς δῆθεν ἐφυστερίζοντο τοῦ παραδοθέντος μοι ἐνοχ-
λήσῃ, ἢ ἄλλως πως εἰς ἀλλοίωσιν τούτου καί ἀνατροπήν πει-
ραθῇ χωρηθῆναι, οὐ μόνον νά μή εἰσακούηται εἰς εἴτι ἀντιλέγῃ,
ἀλλά τό ἐκ Θεοῦ ἐπισπᾶται κατάκριμα καί τάς ἀράς (sic)
τῶν ἁγίων κληρονομεῖ. κανονικῶς τε ἐπιτιμίῳ ὑποπεσεῖ-
ται καί ὑπέρ πρόστιμα ζημιωθήσεται ἢ ὑπέρτερα.
Καί οὕτως ἔρρωται καί τό παρόν ἔγγραφον, ὃ καί ἐγράφη
τῇ προτροπῇ ἡμῶν, χειρί τοῦ εὐτελοῦς μοναχοῦ Λέοντος
τοῦ τῆς μονῆς τοῦ Λουτρακίου, μηνί αὐγούστῳ ἰνδικτιῶνος
. . . . τοῦ ϛχξε ἔτους, ἐνώπιον τῶν ὑποτεταγμένων μαρτύ-
ρων: Ж

+ Ἰωάννης μοναχός καί καθηγούμενος τῆς τῆς βασιλικῆς μο-
νῆς τοῦ Δοχειαρίου προτραπείς παρά τοῦ προτάξαντος ὑπέγραψα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

+ ὁ εὐτελὴς μοναχὸς Βαρνάβας ὁ τοῦ Ξηροποτάμου προ-
κράτης παρὰ τοῦ προτάξαντος ὑπέγραψα:-

+ Νικόδημος μοναχὸς καὶ ἡγούμενος τῆς μονῆς τοῦ Σκορπίου ὑπέγραψα.

+ ὁ εὐτελὴς μοναχὸς Θεοδόσιος καὶ ἡγούμενος τῆς μονῆς τοῦ Χαίροντος προστάτης παρὰ τοῦ προτάξαντος ὑπέγραψα.

+ Νεόφυτος μοναχὸς καὶ ἡγούμενος τῆς μονῆς τοῦ Σταυρονικήτα ὑπέγραψα καὶ τίμιον σταυρὸν τὸ δὲ ὄνομα διὰ τοῦ Χαίροντος

+ Λεόντιος μοναχὸς καὶ ἡγούμενος τῶν ἁγίων ὁμολογητῶν ὑπέγραψα

+ ὁ εὐτελὴς μοναχὸς Νεόφυτος καὶ καθηγούμενος τῆς μονῆς τοῦ Φαλακροῦ ὑπέγραψα.

+ ὁ γραφεὺς τοῦ ὕφους εὐτελὴς μοναχὸς Λεόντιος ὁ ἐκ τῆς μονῆς τοῦ Ζουπανῆ ὑπέγραψα καὶ αὐτός.